# Psalm 127

Septuaginta (LXX)

**1** ᾠδὴ τῶν ἀναβαθμῶν μακάριοι πάντες οἱ φοβούμενοι τὸν κύριον οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ

**2** τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι μακάριος εἶ καὶ καλῶς σοι ἔσται

**3** ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης σου

**4** ἰδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν κύριον

**5** εὐλογήσαι σε κύριος ἐκ σιων καὶ ἴδοις τὰ ἀγαθὰ ιερουσαλημ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου

**6** καὶ ἴδοις υἱοὺς τῶν υἱῶν σου εἰρήνη ἐπὶ τὸν ισραηλ



Druckausgabe erzeugt am 14.06.2025 auf bibelkommentare.de